Ευρωπαϊκή Ένωση
Ευρωπαϊκό Κοινωνικό Ταμείο
ΕΠΙΧΕΙΡΗΣΙΑΚΟ ΠΡΟΓΡΑΜΜΑ
ΕΚΠΑΙΔΕΥΣΗ ΚΑΙ ΔΙΑ ΒΙΟΥ ΜΑΘΗΣΗ
επένδυση στην κοινωνία της γνώσης
ΥΠΟΥΡΓΕΙΟ ΠΑΙΔΕΙΑΣ ΚΑΙ ΘΡΗΣΚΕΥΜΑΤΩΝ
ΕΙΔΙΚΗ ΥΠΗΡΕΣΙΑ ΔΙΑΧΕΙΡΙΣΗΣ
ΕΣΠΑ 2007-2013
πρόγραμμα για την ανάπτυξη
ΕΥΡΩΠΑΪΚΟ ΚΟΙΝΩΝΙΚΟ ΤΑΜΕΙΟ
Με τη συγχρηματοδότηση της Ελλάδας και της Ευρωπαϊκής Ένωσης

Ἀλλ’ ὦ κομνηνοβλάστητον ἀπὸ πορφύρας ρόδον,
βασιλευόντων βασιλεῦ καὶ τῶν ἀνάκτων ἄναξ,
καὶ κράτος τὸ τρισκράτιστον μητρόθεν καὶ πατρόθεν,
εἰσάκουσόν μου τῆς φωνῆς καὶ τῆς δέησεώς μου,
θύραν ἐλέους ἄνοιξον καὶ χεῖρα πάρασχέ μοι
ἀνάγουσαν ἐκ βόθρου με, λάκκου τοῦ τῆς πενίας.
Σὺ γὰρ ἐλέους οἰκτιρμῶν μετὰ θεὸν ἡ θύρα,
σὺ μόνος ὑπερασπιστὴς τῶν ἐν ἀνάγκαις βίου,
καὶ σὺ τὸ καταφύγιον πάντων τῶν χριστωνύμων,
σὺ βασιλέων βασιλεὺς καὶ πάντων σὺ δεσπότης,
ρῦσαι με τῆς στερήσεως, ρῦσαι με τῆς πενίας,
τῶν δανειστῶν μου, βασιλεῦ, λῦσον τὰς ἀπαιτήσεις,
οὐδὲ γὰρ φέρειν δύναμαι τὰς τούτων κατακρίσεις,
τοὺς τέσσαρας προβάλλομαι, θεόστεπτε, μεσίτας,
τοὺς μαρτυρήσαντες στερρῶς ὑπὲρ Χριστοῦ τοῦ λόγου,
Γεώργιον, Δημήτριον, Τύρωνα, Στρατηλάτην,
οἳ καὶ συνταξειδεύσουσιν ἐν πᾶσι ταξιδίοις
καὶ συνοδοιπορήσουσιν τῇ σῇ θεοστεφίᾳ.

Hans Eideneier (επιμ.), *Πτωχοπρόδρομος*, κριτική έκδοση, με σχέδια του Αλέκου Φασιανού, Πανεπιστημιακές Εκδόσεις Κρήτης, Ηράκλειο 2012.